τῆς ὑπὸ ΕΗΖ· καὶ ἐπεὶ τρίγωνόν ἐστι τὸ ΕΖΗ μείζονα ἔχον
τὴν ὑπὸ ΕΖΗ γωνίαν τῆς ὑπὸ ΕΗΖ· ὑπὸ δὲ τὴν μείζο-
να γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· μείζων ἄρα
καὶ πλευρὰ ἡ ΕΗ τῆς ΕΖ· ἴση δὲ ἡ ΕΗ τῇ ΒΓ· μείζων
ἄρα καὶ ἡ ΒΓ τῆς ΕΖ. ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο
πλευρὰς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέ-
ρᾳ, τὴν δὲ γωνίαν τῆς γωνίας μείζονα ἔχῃ τὴν
ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομένην, καὶ τὴν βάσιν
τῆς βάσεως μείζονα ἕξει· ὅπερ ἔδει δεῖξαι:—

κε Ἐὰν δύο τρίγωνα τὰς δύο πλευρὰς δυσὶ πλευραῖς ἴ-
σας ἔχῃ ἑκατέραν ἑκατέρᾳ, τὴν δὲ βάσιν τῆς
βάσεως μείζονα ἔχῃ, καὶ τὴν γωνίαν τῆς γωνίας
μείζονα ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθειῶν περιεχομέ-
νην. ἔστω δύο τρίγωνα τὰ ΑΒΓ ΔΕΖ τὰς δύο πλευ-
ρὰς τὰς ΑΒ ΑΓ ταῖς δυσὶ πλευραῖς ταῖς ΔΕ ΔΖ ἴσας
ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ΑΒ τῇ ΔΕ,
τὴν δὲ ΑΓ τῇ ΔΖ· βάσις δὲ ἡ ΒΓ βάσεως τῆς ΕΖ
μείζων ἔστω· λέγω ὅτι καὶ γωνία ἡ ὑπὸ ΒΑΓ γωνίας
τῆς ὑπὸ ΕΔΖ μείζων ἐστίν· εἰ γὰρ μή, ἤτοι ἴση ἐστὶν
αὐτῇ ἢ ἐλάσσων· ἴση μὲν οὖν οὐκ ἔστιν ἡ ὑπὸ ΒΑΓ
τῇ ὑπὸ ΕΔΖ· ἴση
γὰρ ἂν ἦν καὶ βάσις
ἡ ΒΓ βάσει τῇ ΕΖ·
οὐκ ἔστι δέ· οὐκ ἄ-
ρα ἴση ἐστὶ γωνία
ἡ ὑπὸ ΒΑΓ τῇ ὑπὸ



ΕΔΖ· οὐδὲ μὴν ἐλάττων ἐστὶν ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΕΔΖ· ἐ-
λάσσων γὰρ ἂν ἦν καὶ βάσις ἡ ΒΓ βάσεως τῆς ΕΖ· οὐκ ἔστι
δέ· οὐκ ἄρα ἐλάσσων ἐστὶν ἡ ὑπὸ ΒΑΓ τῆς ὑπὸ ΕΔΖ· ἐ-
δείχθη δὲ ὅτι οὐδὲ ἴση· μείζων ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ
τῆς ὑπὸ ΕΔΖ· ἐὰν ἄρα δύο τρίγωνα τὰς δύο πλευ-
ρὰς δυσὶ πλευραῖς ἴσας ἔχῃ ἑκατέραν ἑκατέρᾳ,
τὴν δὲ βάσιν τῆς βάσεως μείζονα ἔχῃ, καὶ τὴν γωνί-
αν τῆς γωνίας μείζονα ἕξει τὴν ὑπὸ τῶν ἴσων εὐθει-
ῶν περιεχομένην· ὅπερ ἔδει δεῖξαι:—

κϛ Ἐὰν δύο τρίγωνα τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας
ἔχῃ ἑκατέραν ἑκατέρᾳ καὶ μίαν πλευρὰν μιᾷ πλευ-
ρᾷ ἴσην, ἤτοι τὴν πρὸς ταῖς ἴσαις γωνίαις ἢ τὴν
ὑποτείνουσαν ὑπὸ [illegible] γωνιῶν, καὶ τὰς λοι-
πὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑ-
κατέραν ἑκατέρᾳ καὶ τὴν λοιπὴν γωνίαν τῇ λοι-
πῇ γωνίᾳ· ἔστω δύο τρίγωνα τὰ ΑΒΓ ΔΕΖ· τὰς
δύο γωνίας τὰς ὑπὸ ΑΒΓ ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΔΕΖ
ΕΖΔ ἴσας ἔχοντα ἑκατέραν ἑκατέρᾳ, τὴν μὲν ὑ-
πὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ·
ἐχέτω δὲ καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην, πρότε-
ρον τὴν πρὸς ταῖς ἴ-
σαις γωνίαις τὴν
ΒΓ τῇ ΕΖ· λέγω ὅτι
καὶ τὰς λοιπὰς πλευ-
ρὰς ταῖς λοιπαῖς
πλευραῖς ἴσας ἕξει



EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo